τὴν χώραν. Λακεδαιμόνιοι μὲν οὖν Ὀθρυάδην ἐποίησαν
στρατηγὸν Ἀργεῖοι δὲ Θέρσανδρον. πολεμούντων δὲ δύο
B ἐκ τῶν Ἀργείων περιελείφθησαν, Ἀγήνωρ καὶ Χρόμιος,
οἵτινες εἰς τὴν πόλιν ἤγγειλαν τὴν νίκην. ἠρεμίας δ᾽
ὑπαρχούσης ὁ Ὀθρυάδης ἐπιζήσας καὶ ἡμικλάστοις
δόρασιν ἐπερειδόμενος τὰς τῶν νεκρῶν ἁπάντων ἀσπίδας
περιείλετο· καὶ τρόπαιον στήσας ἐκ τοῦ ἰδίου αἵματος
ἐπέγραψε ‛Διὶ τροπαιούχῳ.᾽ καὶ τῶν δήμων στάσιν
ἐχόντων οἱ Ἀμφικτύονες αὐτόπται γενόμενοι Λακεδαιμονίους προκρίνουσι· καθάπερ Χρύσερμος ἐν τρίτῳ Πελοποννησιακῶν (FHGr. IV 361).

**3 A b.** Stob. III 7, 68 (III 333 H.)

Ἐκ τῶν Θησέως (FHGr. IV 519).

Λακεδαιμόνιοι καὶ Ἀργεῖοι περὶ χωρίου Θυρέας ἐν μεθορίῳ κειμένης μέχρι μέν τινος ὅλοις τοῖς στρατεύμασι παρετάσσοντο πρὸς ἀλλήλους· τέλος ἔδοξεν αὐτοῖς ἐπιλέξαι παρ᾽ ἑκατέρων τριακοσίους κἀκείνων μαχεσαμένων τοῖς κρατήσασιν διαφέρειν τὸ χωρίον· οὗπερ γενομένου Ὀθρυάδης Λακεδαιμόνιος στρατιώτης πολλοὺς ἀποκτείνας καὶ πολλὰ τετρωμένος ἔκειτο μεταξὺ τῶν ἀνῃρημένων Λακεδαιμονίων μόνος περιλειφθείς, Ἀργείων δὲ δύο, Ἀλκήνορος καὶ Χρομίου· ὧν ἀπελθόντων εἰς Ἄργος ἀπαγγεῖλαι τὴν νίκην, Ὀθρυάδης πολλοὺς σκυλεύσας τῶν πολεμίων τρόπαιον ἔστησε καὶ χρισάμενος τῷ τῶν τραυμάτων αἵματι ἐπέγραψεν ‛Λακεδαιμόνιοι κατ᾽ Ἀργείων᾽, καὶ τοῦτο πράξας ἀπέθανεν.